16428

# ΑΛΕΞΑΝΔΡΟΥ ΜΑΥΡΟΚΟΡΔΑΤΟΥ

## ΤΟΥ ΕΞ ΑΠΟΡΡΗΤΩΝ

## ΕΠΙΣΤΟΛΑΙ Ρ.'

ΕΚΔΕΔΟΝΤΑΙ ΕΠΙΣΤΑΣΙΑι
**Θ. ΛΙΒΑΔΑ.**

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

ΤΕΡΓΕΣΤΗ,
ΤΥΠΟΙΣ ΤΟΥ ΑΥΣΤΡΟΟΥΓΓΡΙΚΟΥ ΛΟΫΔ.
**1879.**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006



ΑΛΕΞΑΝΔΡΟΣ ΜΑΥΡΟΚΟΡΔΑΤΟΣ

Ο ΕΞ ΑΠΟΡΡΗΤΩΝ.

FUSACQ et Cie Paris

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΕΠΙΣΤΟΛΑΙ

# ΠΑΙΔΑΓΩΓΙΚΑΙ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## 1. Τῷ διδασκάλῳ τῶν ἐμῶν παίδων Ἰακώβῳ χαίρειν.

Ἀλλὰ σὺ μὲν ἀποδεδημηκότας ἡμᾶς ἐπίστασαι καὶ διαβάλλοντας [1]) εἰκάζεις τὸ ὄρος τὸ αἱμόνιον [2])· ἀλλ' ἐγὼ οὐδὲν ἧττον ὑμῖν ἔτι συνδιατρίβω καὶ συγκάθημαι καὶ συνδιαιτῶμαι. Παρόντα με τοίνυν ἴσθι τῷ μεγίστῳ μορίῳ καὶ ὁμιλοῦντα· καὶ ταῦτα περὶ ἐμοῦ πιστεύειν ἐπ' ἀληθείας ἀναπείθου τοὺς ἐμοὺς υἱεῖς, ὅπως ἄν, ὡς ἐπιχωριάζουσαν τὴν τοῦ φύντος [3]) ψυχὴν φανταζόμενοι καὶ ἐπαιδούμενοι, μὴ ῥαθύμως ἔχοιεν οἷς ἂν μαθήμασι καὶ ἀκούσμασι χρῇ προσανασχέσθαι τὸν νοῦν· τὸ δὲ δὴ κεφάλαιον, καὶ λέγειν καὶ πράττειν ὅσαπερ ἁρμόζει παισὶν ἐμοῖς καὶ σοῦ μαθηταῖς. Ἔρρωσο.

---

[1]) Ὀρθότερον ἐπὶ μὲν ὀρέων τὸ «ὑπερβαίνειν,» ἐπὶ δὲ θαλάσσης τὸ «διαβάλλειν,» ὡς ἀλλαχοῦ τῶν ἐπιστολῶν ἔγραψεν ὁ Ἐξ ἀπορρήτων «οἱ ἀπὸ τῆς ἑῴας τὸν Βόσπορον διαβεβληκότες.» Καὶ ὁ Νικόλαος δὲ Μαυρ. ἔστιν ὅπου ἐχρήσατο τῷ «διαβάλλειν» ἐπὶ ὀρέων «ὅπως διαβαλοῦμεν τὸν Αἷμονα».

[2]) «Ὁ Αἷμος» καὶ «τὸ Αἷμον» ἐξεφέρετο ὑπὸ τῶν βυζαντίνων συγγραφέων καὶ κατὰ τρίτην κλίσιν καὶ ἀρσενικὸν γένος «ὁ Αἷμων,» ὁπόθεν «αἱμόνιον.» Ἡ ἐν τῷ χειρογράφῳ γραφὴ «αἱμόνιον» προετιμήθη τῆς ἐν τῷ Ἐπιστολαρίῳ πολλαχοῦ ἀπαντώσης «αἱμή(ί)μοντος» καὶ ὄρος «αἱμη(ι)μόντει(ι)ον». Τὸ ἐπίθετον «αἱμιμόντιον» ἐκ τοῦ Haemus, i καὶ mons, ὁ Φωτεινὸς ἐν τῇ Ἱστορίᾳ τῆς Δακίας καὶ ὁ Μελέτιος ἐν τῇ Γεωγραφίᾳ προσνέμουσιν οὐχὶ εἰς τὸ ὄρος αὐτό, ἀλλ' εἰς τὴν νότιον Βουλγαρίαν καὶ τὴν βόρειον Θράκην.

[3]) Κυρίως ὁ μὲν «φύσας» δηλοῖ τὸν γεννήσαντα, ὁ δὲ «φὺς» τὸν γεννηθέντα· ἐπὶ τῆς παρακμῆς τοῦ Ἑλληνισμοῦ ὁ «φὺς» ἐλαμβάνετο εἰς δήλωσιν τοῦ τε γεννηθέντος καὶ τοῦ γεννήσαντος, ὁπότε δὴ ὑπό τινων (ἀλλ' οὐχὶ ὀρθῶς) καὶ περιεσπᾶτο. «Τοῦ προελθεῖν εἰς τὸν τῇδε βίον καὶ τοῦδε τοῦ φωτὸς μεταλαβεῖν, τοὺς φῦντας ἴσμεν » αἰτίους » (Ἡλιοδωρ. Αἰθιοπ. Β. 17.)

Ε.Υ.Δ της Κ.Τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

## 2. Τῷ διδασκάλῳ κὺρ Ἰακώβῳ χαίρειν.

Κἀγὼ ὑγιαίνω καὶ σὲ ὑγιαίνειν ἐπεύχομαι· καὶ χάρις ὑπὲρ τῆς ἀμφοῖν ἡμῶν εὐρωστίας εἴη τῷ κρείττονι. Τοῖς γὰρ παισὶ τοῖς ἐμοῖς οὐδὲν ἔλαττον τῆς ἐμῆς εὐεξίας λυσιτελὴς ἡ σὴ καὶ ὀνήσιμος· ἐκτρέφονται γὰρ τῷ σῷ τὴν ψυχήν, ὥςπερ ἐκτρέφονται τῷ ἐμῷ πόνῳ τὰ σώματα[1]. Ἴσως δὲ οὐκ ἀπὸ σκοποῦ καὶ ἀπόντα με συνεπιλαβέσθαι καὶ ὑποθέσθαι σοί τε κἀκείνοις ὀλίγ' ἄττα, οὐ βραχύ τι δοκοῦντα συνοίσειν εἰς λόγου λαμπρότητα καὶ κάλλος.

Ἐπεὶ γοῦν ἀπὸ πολλῶν ἡ ἐν λόγοις ἀγλαΐα καὶ ἀφροδίτη φύεται, καὶ ταῦτα δὲ πολλοῖς ἀναλέλεκται καὶ γραφῇ παραδοθέντα ἀποτεταμίευται, καὶ τοῖς ἐθέλουσιν ἀρύσασθαι ποικίλην παρέχει τὴν ὠφέλειαν, ταῦτα παρῶμεν ἔςγε τὸ παρόν· πραγματείας γὰρ εἴη διεξοδικωτέρας ὑπόθεσις. Ἐπελεύσομαι δὲ ὅσα βίβλων ἀπόρῳ μνήμῃ παριζάνει καὶ γράφειν ἐπιστολῆς ἐγχωρεῖ χαρακτήρ. Ἐγχωρεῖ δὲ συντετμημένα τινὰ καὶ βραχέα, ἀλλ' οἷα καὶ τῶν μακροτέρων ἔσται μᾶλλον ὠφέλιμα, κατά γε τὴν ἐμὴν κρίσιν. Τὸ γὰρ πλῆθος τῶν ἐν προχείρῳ γε συγκειμένων κόρον ἀποτίκτειν ἔοικε, καὶ τὰ πολλὰ καὶ ναυτίαν τοῖς ἐντυγχάνουσιν· εὐκαταφρόνητά τε ἐστὶν ὅσα τοῖς ἀνθρώποις ἀταλαίπωρα πρόκειται· καὶ ὁ ἐκ ῥᾴστου πόρος, ὥςπερ ἐν ταῖς ἀγοραῖς εὐωνίαν τοῖς πράγμασιν, οὕτω πως καὶ ταῖς ψυχαῖς ῥᾳθυμίαν περιτίθησι καὶ πρὸς αὐτὰ τὰ λίαν περισπούδαστα καὶ ἀξιομνημόνευτα. Καὶ διὰ ταῦθ' ὅπερ ἔνιοι καθηγηταὶ πράττουσι, τὸ κανόνων καὶ παραδειγμάτων τὸν νοῦν ἐμφορῆσαι καὶ βαρῦναι τῶν φοιτητῶν, οὐ πάνυ τοι συμφέρειν οἶμαι· οὐδέ γε τὸ τῇ περὶ ταῦτα σπουδῇ καὶ μελέτῃ πειρᾶσθαι εἰς ἀττικοῦ λόγου σειρῆνα καὶ χάριν μεταχρῶσαι καὶ μεταμορφῶσαι τὰς ἐκείνων ψυχὰς ἐπαρκεῖ. Ἀλλὰ μᾶλλόν τι τοῖς ἀρίστοις λογοποιοῖς καὶ τοῖς προὔχουσιν ἱστορικοῖς τὸν νοῦν προσέχοντας, διημερεύοντάς τε καὶ ἐπαγρυπνοῦντας αὐτοῖς, καὶ τοῦ καθηγεμόνος τὰ ἐν αὐτοῖς, ὁπόσα κάλλος καὶ κόσμον φέρει τῷ λόγῳ,

[1]) «τῷ σώματι.»

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΔΙΕΥΘΥΝΣΗ: ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ ὅπως ἡ χρῆσις αὐτοῖς ἐσπούδαστο ἑκάστοτε ἀναπτύσσοντος, οἷον ἐκ τοῦ πρωτοτύπου τὰς ἰδέας ἀπομάττεσθαι προσφόρως ἔχειν ἡγοῦμαι. Τῇ γὰρ ἀναγνώσει καὶ τῇ μελέτῃ ταύτῃ δύο τὰ κάλλιστα καὶ κορυφαιότατα ποριζόμεθα· καὶ ὅτι ἰδίῳ πόνῳ προςερανισάμενοι καὶ ἀναλέγοντες ὁπόσα κάλλος ἢ μέγεθος ἢ ἡδύτητα ἢ γοργότητα ἢ σεμνότητα ἢ ἄλλην ἡντινοῦν ἀρετὴν διὰ λέξεων ἢ διὰ συνθήκης περιβάλλει τῷ λόγῳ, τῇ ἐξ αὐτῶν τροφῇ οὐ μεῖον, ἢ τῇ ἐκ τῆς θήρας καὶ τῶν κυνηγεσίων τὸ σῶμα, ἰσχὺν καὶ ῥῶσιν λαμβάνομεν· καὶ ὅτι τὸ ποικίλον τῆς χρήσεως, τοῖς πράγμασι προςαρμοζόμενον, ὑπ' ὄψιν ἥκει καὶ τὸν νοῦν στεγανώτατα διαπήγνυσι.

Σπουδαῖος οὖν ἐστιν ὁ λόγος, ὁ τὰ προςπίπτοντα τρόπον τῆς ἀγοραίου καὶ χύδην ἀφηγήσεως ὑπερανίσχοντα καὶ ὑπερανεστηκότα διιών, καὶ ὁ τούτῳ τοὺς ἀκούοντας ἐπιτέρπων καὶ θέλγων καὶ φιληκόους ποιῶν. Ἄρνυσι μέντοιγε τὴν ὑπεροχὴν ταύτην πρῶτον μὲν λέξεσιν εὐσήμοις καὶ γλαφυραῖς χρώμενος. Ἔγκειται δὲ τοῖς ὀνόμασιν ἡ τοιαύτη ποιότης, ὁτὲ μὲν ἐφ' ἑαυτοῖς, ὁτὲ δὲ κατὰ τρόπον μεταλαμβανομένοις. Ἀλλὰ φυλακτέον ἐνταῦθα ὡς μάλιστα, ὅπως μὴ τοιαῦθ' ὑπολάβωμεν εἶναι τὰ ἔξω τοῦ συνήθους καὶ παντάπασιν ἀτριβῆ, καὶ τῷ ξένῳ καὶ ἀτεκμάρτῳ ἀχλὺν τοῦ λόγου καταχέωμεν. Ἔτι δὲ καὶ τὸ ἀκολάστως τροπικὸν εὖ μάλα διευλαβητέον· ἐζόφωται γὰρ καὶ τοῖς τρόποις ὁ λόγος καὶ ἐπιπροσθεῖ τῷ νῷ τῷ ἐκείνου καὶ διαφθείρει τὸ ἁπλοῦν καὶ ἀκέραιον ἡ ἐν ἀκρασίᾳ τούτων ἀκορεστία καὶ ἀσέλγεια. Δεύτερον δὲ ὅπως εὔμουσόν τινα συνθήκην, καὶ τῆς διὰ γλώττης καὶ κοινῆς διαλλάττουσαν, ταῖς λέξεσι περιθώμεθα, στοχαστέον ὡς μάλιστα. Καὶ πάλιν ἐν τῷ τοιῷδε φυλακτέον ὡς πλεῖστα, μή, τὰς εἰθισμένας ἀπαγγελίας ἀποδιδράσκειν ἐπειγόμενοι, ὡςπερανεὶ τῆς λεωφόρου μεταπεπτωκότες, (* ὃ τὰ πολλὰ συμβαίνει τοῖς ὁδεύουσιν,*) εἰς ἀπερρωγότα καὶ φαραγγώδη καὶ τὴν ἔκβασιν ἀδιεξίτητον ἔχοντα παρενεχθῶμεν· καὶ τοῦτο γὰρ τὰ πολλὰ συμβαίνει τοῖς σφριγῶσι περὶ τοὺς λόγους καί τινι φύσεως ὁρμῇ σφαδαζούσης ἀναρπασθεῖσι καὶ μὴ μετριάζουσιν.

Φευκτέον ἄρα ἐν μὲν τῇ ἐπιλογῇ τῶν λέξεων τὸ ξένον καὶ ἀλλόκοτον καὶ ποιητικόν· φευκτέον δὲ καὶ ἐν τῇ συνθήκῃ τὸ λίαν περιεστραμ-

(*·····*) Ἐν τῷ Ἐπιστολ. παρελείφθησαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μένον καὶ περιβεβλημένον μετὰ φαυλότητος καὶ τὸ ὑπὸ κακοζηλίας ἔντεχνον· καὶ ἐν ἀμφοτέροις φευκτέον ὡς μάλιστα τὸ περιττόν.[1]) Τοῦτο γάρ ἐστι τὸ ἐν λόγῳ ψ υ χ ῶ δ ε ς, τὸ τῇ ἀκοῇ τῇ ἡμετέρᾳ λίαν ἀπηχὲς καὶ ὀχληρόν, καθαπερεὶ καὶ ἐν τοῖς γυναίοις, τοῖς ὥρας αὐτοφυοῦς ἀμοιροῦσι, μετ' ἀηδίας τὴν περὶ τὴν ὄψιν μαγγανείαν καὶ περιεργίαν απονεύουσιν [2]) ὀφθαλμοί.

Καὶ ταῦτα μὲν ἀπόχρη τοῖς ἔτι καθισταμένοις ἐν αὐτοῖς τοῖς προπυλαίοις· τοῖς γὰρ προσωτέρω χωρήσασι καὶ ῥητορεία τέχνην, καὶ λογικὴ δύναμιν, καὶ φιλοσοφία τὴν ἀπὸ τῶν πραγμάτων ποικιλίαν οἴσει καὶ καλλονήν· καὶ ἐὰν διδῷ Θεός, καὶ ὁπόσαι ἄλλαι ἐπιστῆμαι τῇ καλῇ χορηγίᾳ τὸν ἡμέτερον νοῦν πλουτίσαι πεφύκασι καὶ τὸν λόγον διαίρουσι καὶ κοσμοῦσι, φοιτήσουσι παρ' αὐτούς. Ἔρρωσο.

---

## 3. Κυρίῳ Ἰακώβῳ τῷ διδασκάλῳ.

Διὰ πολλῶν ἐμὲ προσπεποιηκώς, ὦ 'γαθέ, ἐν τῷ καταλόγῳ τῶν ἐμῶν ἑταίρων οὐκ ἔχεις τὰ δευτερεῖα, ἀλλὰ καὶ τὴν ἐμὴν εὔνοιαν ὅλως ἐξιδιώσω καὶ κατέσχηκας. Οἶσθα δὲ τοῦ ἑταίρου τὸν βαθμὸν καὶ τὴν δύναμιν· κἀμὲ ταῦτ' εἰδέναι καλῶς οἶσθα. Μέγα τι καὶ ἐξαίσιον, ὡς ἀληθῶς, ὄνομα καὶ πρᾶγμα ἑταῖρος, καὶ δυσεύρετον ἐν ἀνθρώποις, μάλιστα τοῖς ζῶσι, τοῖς κιβδηλίᾳ πολλῇ παραχαράττουσιν ἤθη καὶ τέχνας καὶ ἐπιστήμας αὐτάς, καὶ παρανοθεύουσιν ὅσα περ αὐτῶν ὑποπίπτει τῇ μιαρίᾳ καὶ τῇ βδελυρίᾳ, καὶ τῆς ἀρχαίας ἀποκρίνουσι λαμπρότητος καὶ τιμιότητος.

---

[1]) «Καὶ ἐν ἀμφοτέροις φευκτέον μάλιστα ὡς περιττόν.»

[2]) Κυρίως τὸ «ἀπονεύειν» συντάσσεται αἰτιατικῇ ἐμπροθέτῳ καὶ δηλοῖ «κλίσιν ἢ ἔφεσιν ἔχειν, ἐκκλίνειν, τρέπεσθαι πρός τινα ἢ πρός τι»· λ. χ. «πρὸς τὴν γεωμετρίαν ἀπονεύειν» καὶ «συνέβαινε στασιάζειν καὶ ἀπονεύειν τοὺς μὲν πρὸς Εὐμένη, τοὺς δὲ πρὸς Μακεδονίαν». Πολλαχοῦ τῶν Ἐπιστολῶν ὅμως συντάσσεται αἰτιατικῇ ἀπροθέτῳ ἐν τῇ μεταγενεστέρᾳ καὶ παρὰ τοῖς κανονικοῖς συγγραφεῦσιν ἀμαρτυρήτῳ ἐννοίᾳ τοῦ «ἀπαρνεῖσθαι καὶ ἀποδοκιμάζειν».

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Ε.Π. ΙΩΑΝΝΙΝΑ 2006

Ἡμῖν δὲ κείσθω τά τε ἄλλα, καὶ οὐχ ἥκιστα ἡ φιλότης ἀπαράπτωτος, ἀπαραχάρακτος, ἀπαραμείωτος, καί, οἷα πέφυκεν, ἀεὶ διατηρουμένη καὶ σεβομένη. Καὶ τοῖς μὲν ἄλλοις φίλοις, τοῖς γε γνησίοις καὶ εἰλικρινέσι, κοινὰ τὰ κτήματα καὶ τὰ ὑπάρχοντα· ἡμῖν δέ, Θεοῦ διδόντος, καὶ οἱ παῖδες αὐτοί, καὶ διακονοῦμεν ἀμφότεροι τῇ τούτων ἐπιδόσει.

Ἐπειδὴ δὲ μείζονος ἐπιμελείας ἔοικε δεῖσθαι ὁ μεταγενέστερος, καὶ τοῦτον ἀγαπᾶν ὀφείλομεν ὅτι μάλιστα, ἅτε δὴ κολοφῶνα καὶ κορωνίδα πατρικῆς ἀγάπης (ποῖον γὰρ καὶ ἀγαπήσομεν μετὰ τοῦτον;) φέρε δὴ τὸν νοῦν οὐκ ἔλαττον τοῖς καλοῖς μαθήμασιν, ἢ τὴν ψυχὴν αὐτοῦ τοῖς χρηστοῖς ἤθεσιν ἐπιχρώσωμεν. Ἐμοὶ δὲ ἡ ψυχὴ διὰ πλείονός ἐστι λόγου καὶ τιμῆς, ὅτι δύναμις αὐτῆς ὁ νοῦς, καὶ τῆς ψυχικῆς ἐξήρτηται τελειότητος· καὶ ψυχῆς τῇ τῶν παθῶν νηνεμίᾳ γαληνιώσης, τὰ τῶν ὄντων ἰνδάλματα ἐγχαράττεται τῷ νῷ καθαρὰ καὶ ἀτάραχα οὐδὲν ἧττον, ἢ τοῖς ὕδασιν ἐκτυποῦται τῶν ὁρώντων τὰ σχήματα, τοῖς μὴ σάλῳ κυμαινομένοις. Τοῦ Ἰωάννου δὴ τὴν ψυχὴν πρώτως ἐπικόσμησον, εἴ τι παρὰ χορδὴν αὐτῷ προσείη, μεταρρυθμίζων ἁρμονίᾳ πολλῇ καὶ εὐπρεπείᾳ, καὶ μουσικοῖς, ἵν' οὕτως εἴπω, κανόσι διαπλαττόμενος· εὐαπόδεκτον γὰρ τὸ νεάζον διὰ τὴν ἁπαλότητα εἰς τὸ κάλλιστον μεταμορφούμενον σχῆμα· ἐὰν δέ, ὃ μὴ γένοιτο, τραπῇ ἐξ ἀρχῆς ἐπί τι αἰσχρότερον, δυσέκνιπτος καὶ δυσαπόπλυτος καὶ δευσοποιὸς ὅλως ἐγκείσεται προστακεῖσα καὶ μέχρι γήρως ἡ μελανία. Παίδευσον ἄρα τοῦτον ἀγαθοῖς ἤθεσι καὶ τρόποις ἐγγυμναζόμενος, εἶτα καὶ διδασκαλίᾳ διακόσμησον. Τί γὰρ ὄφελος, εἰ κατὰ γραμματικοὺς κανόνας συντάττων καὶ ἑλληνίζων, ἀσυντάκτως ἔχει καὶ πολὺ τὸ σόλοικον καὶ βάρβαρον ἐν τοῖς ἤθεσιν;

Ἐμοὶ γοῦν ποθεινὸν ἐκεῖνο καὶ περιμάχητον, ὅπως μὴ μόνον τοῖς ψυχικοῖς παθήμασιν αὐτοῦ πολλή τις ἐμμέλεια ἐγγένοιτο καὶ εὐμουσία, ἀλλὰ καὶ τοῖς κατὰ τὸ σῶμα κινήμασιν ἡ προσήκουσα προσφύοιτο εὐαρμοστία καὶ εὐταξία. Ψυχῇ γὰρ ἀγαθῇ οἷον οἰκία λαμπρὰ καὶ περιφανὴς παρασκευαζέσθω τὸ σῶμα, ἵνα καὶ ψυχῇ κάλλιστα διατεθειμένῃ ὁ νοῦς ἀνατείλῃ διαυγής, καὶ ταῖς ἀκτῖσι περιαστράψῃ, καὶ τὸ σύνολον ἀποβῇ τοιοῦτον, οἷον ἐν ἔρωτι καὶ πόθῳ περιφέρομεν. Καὶ τῶν γε ἀγαθῶν ὁ παροχεὺς ἀντιλαβέσθω καὶ πόθου μείζονα χαριζέσθω ἀμφοτέροις ἡμῖν καὶ τῷ παιδευομένῳ, τῷ γε ἐπεράστῳ καὶ τρισολβίῳ. Ἔρρωσο.

ΕΡΓΑΣΤΗΡΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## 4. Τῷ ἐλλογίμῳ διδασκάλῳ Κ. Ἰακώβῳ εὖ πράττειν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Κάλλιστα τὸ ὅτι τέκνων οὐκ ἐφάπτεται καὶ ἥκιστα γοῦν ἀφειδεῖ ὁ πάντων ἐπικρατέστατος φθόνος, ὁ τὰ βέλη ὁτῳοῦν ἀκρίτως ἀφιέμενος. Ἀλλὰ δὴ τῆς ἐπιδόσεως τῶν παίδων διὰ τοῦτο οἱ φύντες [1]) ὀρέγονται· κἂν σοφώτεροι ἢ πλουσιώτεροι γένοιντο, οὐδαμῶς ἀνιῶνται. Ὅσῳ γὰρ κατιέναι πέφυκεν ἡ στοργὴ μᾶλλον, τοσούτῳ τοῦ φθόνου τὴν ἐπὶ τοὺς κατιόντας φορὰν καὶ ῥοπὴν ἀνακόπτει καὶ περιστέλλει.

Ἐκεῖνο δὲ καὶ μάλα μοι παράδοξον ἔοικεν, ὅτι, εὐθὺς ἀποχωρήσαντος ἐμοῦ, τοσαύτη προσερρύη τοῖς ἐμοῖς φιλτάτοις ὕφεσις καὶ ῥᾳςώνη, ὥςτε ῥᾳθυμίας αἰτίαν ὑποδῦναι, καὶ ταῦτα σοῦ κατηγοροῦντος, κἀμὲ πρὸς ἐπίπληξιν ὑποτρύνοντος. Τά γε μὲν παρ' ἐμοῦ πεμπόμενα βέλη, κἂν ὦσιν ὀξύτατα τὴν ἀκμήν, κἂν εὐστόχως ἀφῶνται, οὐκ ἂν ὅμως οὕτω πόρρω ποι πίπτοντα καιρίαν ἐλάσειε [2]) δι' ἀκοῆς. Σὺ δὲ μὴ παύου ἐς αὐτοὺς ἀποτοξεύων ἀπονητί. Ὀφθαλμοὶ γὰρ πλέον ἀποδειλιῶσι πρὸς τὰς βολάς. Ἔρρωσο.

---

## 5. Ἰακώβῳ τῷ διδασκάλῳ.

Ἀλλὰ τὴν σὴν μακρὰν σιωπὴν τὴν ἄχρι δεῦρο οὐκ ἂν ἔγωγε πυθαγόρειον φαίην· ὅσῳ γὰρ ἐκείνης ἀποδέει τῷ χρόνῳ, τόσῳ γε καὶ τῆς ἀκριβείας ἀπολείπεται. Εἰς διδασκαλίαν γὰρ τοῖς παρ' αὐτῶν μελετωμένοις οὐρανίοις μέλεσιν ἐνάμιλλος ἐλύετο ἡ τῶν Πυθαγορείων σιγὴ καὶ πολλὴν ὑπέσυρε [3]) φιληκοΐαν. Σοῦ δὲ οὐδέποθ' ὅσα νῦν ἂν ἑλοίμην τοῦ

---

[1]) Ἴδ. Σελ. 3, σημ. 3.

[2]) «ἐλάσῃ»

[3]) «ἐπέσυρε»

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

παρόντος βόμβου τὴν πρὶν ἀφωνίαν, τὴν οὕτως ἀτόπως περαινομένην· καὶ εἴθε ἢ λελυμένη μὴ διατελοίη ἢ ἄλλως πως εὐμουσότερον ἀπολήξαιτο. Οὔτοι γε γὰρ ἔτι κατήγορον, ἀλλ' ἐπαινέτην σε γενέσθαι ποτ' ἤλπιζον τῶν μαθητῶν· ὅτι τοῖς καθηγηταῖς, τοῖς γε ἀγαθοῖς, καὶ τόδε τὸ ἦθος ὁμολογουμένως ἔνεστιν, ὅπως τῶν ἀκροατῶν ἐφέλκωσι τὰς ψυχὰς καὶ πρὸς τὸ πεπαιδευμένον αὐτὰς ἀνενέγκωσι· καὶ τὴν ἀρίστην διάθεσιν τοῖς ὁμιληταῖς ἐναποτέξαι καὶ συντάξαι φιλοσόφοις ἤθεσιν οἵους τε εἶναι προσήκει αὐτούς· καθάπερ καὶ Ἡρακλέους ταῖς ἀπὸ στόματος ἀνημμέναις χρυσαῖς ἁλύσεσι πλῆθος ἀνθρώπων οὐ φαῦλον ἀναδεδῆσθαι καὶ ἀνηρτῆσθαι μυθεύεται. Καὶ τοὺς ὄρνιθάς φασι, τοὺς ἐπικαθημένους ἐπὶ τῷ μνήματι τοῦ Ὁμήρου καὶ τῇδε τὰς νεοσσιὰς ἔχοντας, πολλῷ τῶν ἄλλων ἥδύτερον ᾆσαι. Καὶ ἐπὶ πᾶσιν ἡ δραστήριος δύναμις ὑπερίσχει τι καὶ μάλα, καὶ τῶν ὑποκειμένων ἀποκρίνουσα τὴν ἐναντίαν ποιότητα τὴν ἰδίαν ἀντεισάγει μορφήν. Οὐχὶ τοῖς εὐόσμοις παρατιθέμενα τὰ ἄοσμα πολλὴν ἐκεῖθεν εὐωδίαν ἀρύεται; ἢ οὐχὶ σκυτοτόμῳ ποτὲ Ζήνων παρακαθήμενος καὶ τοῖς μαθηταῖς συνομιλῶν μετέδω τῶν καλῶν φροντισμάτων καὶ ἀκουσμάτων, ὥστε καὶ [1]) διάδοχον τῆς Στοᾶς ἀπολιπεῖν; Ζήνων ἄρα ἢ ἄλλος, οὐκ ἔχω ἀπισχυρίσασθαι [2]), καὶ δέδοικα μὴ τάχα τῆς μνήμης σφαλοίμην· οὐ γὰρ ἔχω πόθεν ἂν αὐτὴν ἐνταῦθα κατὰ τὸ στρατόπεδον στεγάσαιμι. Ἀλλὰ δὴ καὶ αἱ Μοῦσαι, αἷς ὁμιλοῦμεν, παρθένοι μὲν καὶ σώφρονες, οὐ μὴν γε στεῖραι καὶ ἄγονοι, δαιμόνιόν τινα καὶ ὑπερφυᾶ τρόπον ἐντὸς ἡμῶν ἔχουσαι τοῦ τόκου.

Ἢ παύου τοίνυν ἐγκαλῶν, ἢ μηδὲ σεαυτὸν ἐν τῷ τοιούτῳ ἀνενέγκλητον εἶναι καὶ ἀνεπίμωμον εὖ ἐπίστασο.

## Παράρτημα.

Μὴ στέργε μόνῳ τῷ φιλαλήθει· οὐ γὰρ ἐπίπαν ἀγαστὸν ἐν οἷς οὐκ ἐπανθεῖ [3]) τὸ ἡδὺ καὶ χάριεν, καὶ μάλισθ' ὁπότε ἐφ' ἡμῖν ἂν εἴη ταῦτα κατασκευάσαι καὶ προσαρμόσαι τῇ ἀληθείᾳ, ὡς ἀληθεύειν ἅμα καὶ τέρπειν.

---

1) «ὡς διάδοχον» ἀντὶ «ὥστε καὶ»

2) «ἐπιχειρίσασθαι»

3) «ἐν οἷς ἐπανθεῖ»

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## 6. Ἰακώβῳ τῷ διδασκάλῳ.

Ἀλλὰ καὶ ἐν ἄλλοις, ὦ 'γαθέ, γράμμασιν οὐκ ὀλίγοις τοὺς ὁμιλητὰς ὑπερκεῖσθαι τὴν τάξιν τῶν γνησίων παίδων, καὶ ὑπερφιλεῖσθαι διὰ τοῦτο παρὰ τῶν παιδευτῶν ἀνεδίδαξα καὶ ἀνέπεισα. Φιλεῖσθαι δὲ καλῶς οἶσθα μὴ παρημελημένους, μηδὲ χαμαί που διατρίβοντας καὶ καταρραθυμοῦντας παρεωραμένους, ἀλλ' ἐπὶ τὸν κολοφῶνα διὰ πολλῆς ἐκτενείας καὶ ἐντρεχείας ἐπαιρομένους καὶ προβιβαζομένους. Τὸ γὰρ ἄναντες ἀεὶ δυσέφοδον καὶ δυσεπίβατον, καὶ μάλιστα νέοις, ἁπαλοὺς ἔχουσιν ὄνυχας, καὶ μὴ δυναμένοις ἀναρριχήσασθαι, οὐδ' ἐπιλαβέσθαι τῶν ἀπορρώγων καὶ ἀποκρήμνων, οἷα τοῖς ἐπὶ κορυφῆς ἀνιοῦσι ταύτῃ δυσπετῶς ἀντιπίπτει συχνά, καὶ ἀντωθεῖ χαμᾶζε τοὺς ἀνίσχοντας· ἔνθα τοῦτο μὲν ὀλισθαίνοντας αὐτοὺς στηρίξαι τοῖς ἀπὸ λόγου καὶ ἐλπίδος ἐρείσμασι, τοῦτο δὲ κεκμηκότας ὑποθάλψαι δεῖ, καὶ ἀπηγορευκότας ἀναπτερῶσαι, καὶ ἀνερεθίσαι ποικίλοις ὑπεκκαύμασιν, ὅσα καὶ τοξόταις φίλον ἐστὶν ἀνιέναι τὰ τόξα ἐπὶ τῷ φυλάξαι τὸ σύντονον αὐτῶν· καὶ δὴ καὶ ἕλκουσιν ὀπίσω τὰ βέλη, ὅσον ἐφικτόν, ὁπότε καὶ βούλοιντο βάλλειν ἑκάς. Καὶ ἁλλόμενοι εἰς τοὐπίσω χωροῦμεν, ἵνα ῥοπὴν ἐκεῖθεν λαβόντες ὑπερπηδήσωμεν.

Ταῦτα δὴ καὶ σοὶ γενέσθω στοργῆς ἐναργῆ σημεῖα, μεθόδους ἐνισταμένῳ παντοδαπάς, ὅπως τῆς ἀγούσης ἐπὶ τὸ τέλειον συντόνως καὶ προθύμως ἀντεχόμενοι, καὶ τῶν δεόντων ἀντιποιούμενοι, καί ποτε καὶ σὺν Θεῷ πρὸς τὸ πέρας ἀφικόμενοι, αὐτοί τε τῶν πολλῶν ἱδρώτων ἀπολαύσοιεν, σύ τε τῶν μυρίων πόνων ἀποδρέψοις τοὺς καρπούς. Οὐ γὰρ ἐπὶ τῆς βαλβῖδος, ἀλλ' ἐπὶ τοῦ τέρματος στεφανούμεθα. Ἐρρῶσθω.

---

## 7. Ἰακώβῳ τῷ διδασκάλῳ.

Ὅσον γε τῶν ἐμῶν παίδων ὀρέγομαι τῆς ἐπιδόσεως, ταῖς παρὰ σοῦ περὶ αὐτῆς ἀγγελίαις ἴσθι με τοσοῦτον ἐντρυφῶντα καὶ τερπόμενον.

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ ... ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. τ.τ.Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἀδικεῖς οὖν, ὦ καλέ, σεσιγηκὼς ἄχρι δεῦρο, καὶ ψυχήν, τῶν σῶν ἀνηρτημένην γραμμάτων, παρεάσας ἀθεράπευτον, κατηφῆ τε καὶ σκυθρωπὴν ὑπ' ἀθυμίας. Εὖγε γνώμης ἀμειλίκτου καὶ ἀκηλήτου!

Ἀλλ' ἐνστήσομαί γε παρὰ τῷ Ἑρμῇ βαρεῖαν καὶ χαλεπὴν ἔγκλησιν, καὶ ἐπαιτιάσομαι τὴν Ἀμάλθειαν ἀδικοῦντά σε, ἣν ἐμπιστευθεὶς ὑπ' αὐτοῦ, οὐκ οἶδα τί παθών, οὕτω τοι περιπέφραξαι καὶ πεπύκασαι, ὥςτε μήτοι γε καρποῦ τινος ἀπογεύσασθαι, ἀλλ' οὐδ' ὀσμὴν ὅλως ὡς ἡμᾶς ἀφικέσθαι[1]). Καὶ ἀφαιρεθήσῃ λοιπὸν αὐτήν, ἢ κἀκεῖνον εἰςαγγελοῦμαι τῆς περὶ λόγων ἀλογιστίας, ὡς φειδωλοτάτῳ δήπου ταμίᾳ σοι τὴν Ἀμάλθειαν ἐγχειρίσαιτο, ἣν χώραν ὅλην παμφόρον[2]) τήν γε περὶ τὸν Ἀχελῷον ποταμὸν ἐργάσασθαι παῖδες ᾄδουσι ποιητῶν[3]).

Ἄφετος, ὦ 'γαθέ, εἶναι φιλεῖ καὶ ὑπόπτερος ὁ λόγος· καὶ δὴ καὶ τὰ ἔπη πτερόεντα πεποίηται καὶ πανταχόσε διὰ τοῦτο περιίπταται καὶ διαγγέλλει πᾶσι τὰ δέοντα. Σὺ δὲ ταῖς οἰκουρίσιν ἐγκαταλέξας ὄρνισιν,

---

[1]) «ὡς εἰς ἡμᾶς»

[2]) Ἐπ. καὶ Χειρ. «πάμφορον»

[3]) Τῆς Ἀμαλθείας τὸ κέρας ἀπέδοσαν οἱ ποιηταὶ οὐ μόνον τῷ Ἡρακλεῖ, ἀλλὰ καὶ τῷ Λογίῳ Ἑρμῇ καὶ τῷ Ἀχελώῳ ποταμῷ. Ταῦτα διατείνεται ὁ τοῦ Φωτίου θαυμαστὴς Μαυροκορδάτος, ὑπ' ὄψει ἔχων τὴν ρκθ' ἐπιστολὴν τοῦ Πατριάρχου (Ἔκδ. Βαλέττα, σελ. 448) ἧς ἡ ἀρχὴ «ἴσθι, ὡς οὐ μόνον τῷ τληπαθεῖ Ἡρακλεῖ, ἀλλὰ καὶ
» τῷ Λογίῳ Ἑρμῇ τὸ τῆς Ἀμαλθείας κέρας οἱ ποιηταὶ ἐγχειρίζουσιν· ..... Τὸ δὲ
» τῆς Ἀμαλθείας κέρας καὶ τῷ Ἀχελώῳ ποταμῷ, ὅτι τὴν ὑποκειμένην περιρρέων χώ-
» ραν παμφόρον ἐργάζεται, τὸ ποιητῶν αὐτόνομον ἔθνος ἑτοίμως χαρίζονται.» Τοῦτον δὲ τὸν περὶ Ἀχελώου μῦθον ἡρμήνευσεν ὁ Εὐστάθιος (Διον. Περιηγ. 431) ὧδε· «Ἀχε-
» λῷος δὲ οὗτός ἐστιν, ὃς κλασθεὶς τὸ ἀριστερὸν κέρας ὑφ' Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας
» κέρας ἀντέδωκε, δι' οὗ πᾶν ἀγαθὸν ἐχορηγεῖτο τῷ χρῄζοντι. Τοῦτο δὲ οἱ τῶν μύθων
» θεραπευταὶ πρὸς ἀλήθειαν συμβιβάζοντες τοιοῦτόν τι φασὶν αἰνίττεσθαι· Ἡρακλῆς,
» εὐεργετεῖν εἰδὼς τοὺς ὅποι ποτὲ γῆς, εἶτα καὶ τὸν ποταμὸν τοῦτον μαθὼν πλημμελῶς
» ῥέοντα καὶ ταῖς καμπαῖς πολλὴν τῆς Αἰτωλικῆς παρατεμνόμενον, καὶ οὕτως ἀδικοῦντα,
» παραχώμασί τισι καὶ διώρυξι καὶ διοχετείαις αὐτὸν ἐβιάσατο· καὶ παρατρέψας καὶ
» ῥέειν σωφρόνως ποιήσας, ἀνέψυξε τὴν γῆν καὶ εἰς ἀγαθοποιὸν εὐχρηστίαν μετήγαγε, καὶ
» τὸ τοῖς ἐγχωρίοις ἐπαρίστερον κέρας τοῦ ποταμοῦ, τὴν ἄτακτον καμπὴν δηλαδὴ τὴν
» ὡς εἰπεῖν ἀτέραμνον καὶ σκληρὰν τοῖς ἐκεῖ, εἰς μαλθακὴν οἷον ἀντιπεριέστησε δεξιό-
» τητα. Καὶ ταῦτά εἰσι τὰ κέρατα τοῦ Ἀχελώου, τό τε βίαιον, τὸ καταπονηθέν, καὶ
» τὸ πλουτοποιόν, τὸ ἀντιδοθέν, δι' οὗ καὶ Ἡρακλῆς εὐεργέτης ἔγνωσται· τὰς γάρτοι
» τῶν ποταμίων ῥείθρων καμπὰς κέρατα ἐκάλουν οἱ παλαιοί, καὶ διὰ τοῦτο ταυροκρά-
» νους καὶ κερασφόρους ἐτύπουν αὐτούς.» ....

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δεσμώτην ἔχεις ἐν ἀδέσμῳ τάχα φυλακῇ τὸν ἐκ φύσεως ἐλευθέριον [1]) καὶ ἀδούλωτον. Ἢ ἄρα ψευδῆ μὲν οὐκ ἐθέλεις, ἀληθῆ δὲ οὐκ ἔχεις ἐπιστεῖλαι περὶ τῆς προκοπῆς αὐτῶν καὶ τῆς εἰς ἀρετὴν αὐξήσεως; Καὶ ταῦτα γὰρ ἔπεισί μου τῷ λογισμῷ καὶ ἄγχει καὶ στρεβλοῖ τυραννικώτατα· χρηστότεραι ὅμως ἐλπίδες ἐπιφοιτήσασαι ἀπ' ἐναντίας ἴασι, καὶ ἐκνικῶσι τὰς πτοίας, καὶ πείθουσι δεινῶς ἐμὲ περὶ τῆς ἐκείνων [2]) ἐμμελείας καὶ εὐμουσίας. Ἡλικίας τε γὰρ ἐξίκοντο σωφρονούσης, καὶ ἀκμῆς εἰλήχασιν ἐχέφρονος καὶ τῶν δεόντων ἀντιλαμβανομένης· καὶ μὴν καὶ φιλοσοφίᾳ προσωμιληκότες, τῆς ἐκεῖθεν ἀμβροσίας ἐγεύσαντο, καὶ ἅμιλλά τις ἀγαθὴ σφίσιν ἤρξατο ἐνιζάνειν ἐπὶ τὰ βελτίω καὶ ὑψηλά. Σὲ δὲ μᾶλλον ῥαθυμίας κατηγοροῦσι καὶ ῥαστώνης οἱ ἐμοὶ φόβοι. Καὶ παύου διὰ ταῦτα λοιπὸν τῆσδε τῆς ἀκαίρου καὶ παραλόγου σιγῆς καὶ ἀνιώσης ἐχεμυθίας, καὶ γράφε συχνότερα, ἅπερ ἐμὲ διακαέστερον ἐπιποθεῖν πεπείρασαι. Ἔρρωσο. Ἔτεσιν ἐλευθερίοις αχιε', φθίνοντος πρώτῃ μεταγειτνιῶνος.

---

8. Ἰακώβῳ τῷ διδασκάλῳ εὖ πράττειν.

Ἡδέα μοι καὶ τερπνὰ τὰ παρὰ τῆς σῆς ἐλλογιμότητος γράμματα· αἱ γὰρ ἀπὸ φιλουμένου καὶ τοῖς αὐτοῖς ἀντιφιλοῦντος μέτροις προσποιητικαὶ φωναί, ἐπῳδάς εἴποι τις ἄλλος, θαυμαστὴν ὅσην ἀποστάζουσι τοῖς ὠσὶ καὶ τοῖς σπλάγχνοις ἡδύτητα, σφόδρα θέλγουσαι καὶ κατακηλοῦσαι. Καὶ δῆτα πάλαι τε γράφουσα θυμηδίας ἐμὲ πολλῆς ἐνεπίμπλη, καὶ νῦν ὅτι μάλιστα, τὴν σωτήριον ἔγερσιν ἐμοὶ μὲν αἰσίαν ἐπευχομένη γενήσεσθαι, φαιδρὰν δὲ τῷ ἐμῷ οἴκῳ γεγονυῖαν ἀγγέλλουσα καὶ ὡς ἀληθῶς λαμπράν.

Τί δὲ περὶ τῶν ἀπεράντων εὐχῶν φθεγξαίμην, ἃς οὐ μεῖον ἀπὸ ψυχῆς ἤπερ ἀπὸ στόματος ἐξηντληκυῖα, στοργῆς ἀριθμὸν ἅπαντα πεπλήρωκε καὶ κρείττων ἀνεφάνη περιφανῶς τῆς εἰς αὐτὴν ἐμῆς ἀγάπης,

---

[1]) « ἰσαιθέριον »

[2]) « τῆς περὶ ἐκείνων »

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῆς διαπύρου καὶ διακαοῦς καὶ μέχρι δεῦρο νομιζομένης ἐμοὶ πάντως ἀηττήτου; Ἀλλ' ἔχει ὅμως καὶ τοῦτο νικήσασα τὸ πλεονέκτημα, ὅτι νικώμενος τῷ μεγέθει τῆς ἀγάπης οὐκ ἀνιῶμαι, οὐδ' ἄχθομαι, οὐδ' ἐγώ, οὐδ' ὁπόσοι τινὲς ἄλλοι τὴν ἐλάττω τοῦ φίλτρου κεκληρώμεθα, ἀλλὰ καὶ χαίρω καὶ τέρπομαι ὑπὸ τῆς ἥττης οἰόμενος εὐπραγῆσαι, καὶ εὐκληρίαν ἡγοῦμαι τόδε τὸ μειονέκτημα. Οὕτως ἡ ἐν εὐνοίαις ἅμιλλα θαυμαστή, καὶ θεῖος ὁ ἀγών, ὁ κατὰ στοργὴν τὸν ἡττήσαντα ἐς ἴσα καὶ τὸν ἡττηθέντα ζηλωτὸν ἀποκαθιςῶν καὶ ἀπόβλεπτον. Καὶ περιπτύσσομαι τοίνυν ἀμφοτέραις ἀγκάλαις, ὥςπερ οἱ γενναῖοι τῶν ἀθλητῶν τὸν παλαίσαντα, καὶ ὅλοις ἐνστερνίζομαι κόλποις, προςθήκῃ φίλτρου τὴν μάχην ἀναπαλαῖσαι ἀψευδῶς ἐνθυμούμενος. Καὶ ἀγαλλόμεθα γοῦν ἀμφότεροι καὶ τρανοῖς ἀναφωνήμασιν εὐφημοῦμεν· ἡ μὲν οὐχ ἧττον ὅτι νενίκηκεν ἄρτι, ἢ ὅτι μετ' οὐ πολὺ μέλλει νικηθήσεσθαι· ὁ δὲ ὅτι νενίκημαι, τό γε νῦν ἔχον, νικῆσαι δὲ μετ' ὀλίγον ἐξαισίοις ἀντιδόσεσι μέλλω. Καὶ τίς ἄρα γενήσεται τῷ τοιούτῳ ἀγῶνι παραπλήσιος ἅμιλλα; Ναί· μηδεμία ποτέ· καὶ στήτω τοῦτο μόνον ἀγάπῃ τὸ τρόπαιον, ὡς ἑνὶ μέτρῳ συναρθρώσῃ τἀναντία, νίκης τε καὶ ἥττης ὁμοίως ἀποσοβοῦσα στυγνότητα καὶ ἀθυμίαν. Αὐτὴ δὲ ἐκ δεξιᾶς παριζανέτω τῷ τροπαίῳ, στελλομένη λαμπρὰν ἐσθῆτα τὴν ἐναγώνιον καὶ ἐπινίκιον, εὖ μάλα τε σεμνυνομένη καὶ κομπάζουσα, ἅτε δὴ ταυτηνὶ τὴν ἰδιότητα σύνναον εἶναι ταῖς μεγαλοφυέσιν ἀγάπαις ὡς εὐτυχῶς ἀποδείξασα.

Ἀντιβολῶ δὲ καὶ ποτνιῶμαι, ὅπως τῇ περὶ σφᾶς ἐπιμελείᾳ καὶ σπουδῇ οἱ ἡμέτεροι παῖδες οὐ μόνον ἐπιστήμαις καὶ μαθήμασι τὸν νοῦν, ἀλλὰ καὶ χρηστοτάτοις ἤθεσι τὴν ψυχὴν ἐπικεχρωσμένοι περιφανεῖς ποτε ἀποβῶσι καὶ περίβλεπτοι. Ἐρρώσθω.

---

## 9. Τοῖς ἐμοῖς παισὶν ὑγιαίνειν καὶ εὖ πράττειν.

Καὶ τὴν μὲν ὑμετέραν μητέρα ἀωρία θανάτου ἀφ' ἡμῶν ἥρπασεν· ἐμὲ δὲ τὸν πατέρα τὸ τῆς γενικῆς ἑρμηνείας λειτούργημα, ἀνθ' ὅτου τοῖς κρατοῦσιν ἐπείγομαι συνεκστρατεύεσθαι, ὑμῶν διαιρεῖ καὶ πόῤῥω

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΣΤΗΜΟΝΙΚΟΣ ΣΥΝΕΡΓΑΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

διίστησι. Καὶ δὴ ἐν στερήσει καὶ ὀρφανίᾳ πατρὸς ζῶντος καὶ μητρὸς ἀποθανούσης διάγοντες, ὑμῖν γοῦν αὐτοῖς αὐτοὶ πάρεστε, ἑαυτοὺς ἐπαίροντες εἰς ὅ,τι ἀγαθὸν καὶ ὅ,τι περ ἄξιον καὶ λόγου καὶ ἔργου, καὶ τὴν τελείωσιν ὑμῶν προθυμούμενοι καὶ διαπράττοντες. Καὶ ἣν ἂν παρόντων ἡμῶν τῶν γεγεννηκότων καὶ προστατούντων ἀρετὴν περιποιήσαισθε [1]) καὶ προκοπήν, ταύτην εἰ ταῖς ἰδίαις σπουδαῖς καὶ διαπονήσεσι προςκτήσοισθε, ἔσεσθε ἑαυτοῖς καὶ μητέρες καὶ πατέρες, οὐ μὴν ἀλλὰ καὶ τροφοὶ καὶ καθηγηταί· καὶ τοὺς ἐπαίνους ἄρ᾽ οὖν ἀποδρέψεσθε συχνοὺς τῆς καλῆς διαθέσεως καὶ τῆς νουνεχοῦς κηδεμονίας, τῆς τε πατρικῆς καὶ τῆς μητρικῆς, καὶ τρεῖς φιλοτιμίας εἰς ἓν συναρμόσαντες τριχῇ θαυμασθήσεσθε. Ἐγὼ δὲ ἀντ᾽ ἐμοῦ καὶ τῆς φυσάσης χάριτας ὀφλήσω μεγίςας, οἷς τὸ αἰτούμενον ἀποδιδόντες αὐτοί τε κατέχετε καὶ ἐπιχαρήσεσθε.

Παραινῶ τοίνυν ὑμᾶς καὶ σφόδρα παρορμῶ, μετ᾽ ἀνδρείας καὶ καρτερίας ἰέναι ἐπὶ τὰ πρόσω μηδαμῶς ἀπεροῦντας· καὶ τὸν μὲν νοῦν ταῖς ἀκριβεστάταις εἰδήσεσι ταῖς ἀπὸ φιλοσοφίας καὶ ἱστορίας καὶ ποιήσεως, τὴν δὲ ψυχὴν τοῖς χρηστοτάτοις ἤθεσι τοῖς πρὸς Θεὸν καὶ τοὺς συμπολιτευομένους χρωννύντας καὶ κοσμοῦντας. Καὶ γάρ, εἴ τισι φιλοσοφοῦσι τὸ χρῶμα φῶς εἴρηται, τοῦτό γε ἀληθῶς ὁμολογείσθω τὸ ἀπὸ τῆς παιδείας ὑμῖν ἀνατέλλον, ἅτε δὴ ἀγλαΐζον ὑμᾶς καὶ περιόπτους ποιοῦν. Καὶ μέμνησθε ἄρα διὰ παντός, ὅτι μαθήσει μὲν ἔστιν ἃ τῶν ζώων τοῖς ἀνθρώποις πελάζει καὶ σφίσιν ὡς ἐγγύτατα γίγνεται· ἀπαιδευσίᾳ δὲ παμπόλλους ἀνθρώπους καταλέγεσθαι τοῖς ἀναισθητοτάτοις ζώοις· καὶ τοῦτο μόνον μνημονευόμενον καὶ κατὰ νοῦν ἀναπολούμενον, [2]) ἵνα τὰς ἄλλας ὑποθήκας παρεάσω, ἃς πολλάκις διελήλυθα πρὸς ὑμᾶς, ἀνερεθίσει, καὶ δὴ προβιβάσει μετ᾽ ἐπιτυχίας εἰς τὸ τέλειον. Τὸ μὲν γὰρ ὑπερανίστασθαι καὶ ὑπερκεῖσθαι τῆς τάξεως τῶν ζώων πλησιάζειν εἶναι Θεῷ, καὶ τὴν πρὸς αὐτὸν ὁμοίωσιν τέλος ὑπάρχειν φιλοσόφου μελέτης εὖ οἴδατε. Ἔρρωσθε.

---

[1]) «περιεποιεῖσθε»

[2]) «ἀναπολοῦν»

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΝΕΟΕΛΛΗΝΙΚΗ ΦΙΛΟΣΟΦΙΑ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006